# ΟΝΟΜΑΤΑ ΚΕΧΙΑΣΜΕΝΑ



πρώτη μηνιαία αἰνιγματικὴ
ἔκδοσις ἐν τῇ ἀρχαίᾳ Ἑλληνικῇ γλώσσῃ

ἔτος 2017 – πέμπτη ἔκδοσις

ἐκδότης: Λουκᾶς Δεσιάτα

βουλὴ τῶν ἐκδοτῶν: Θεόδωρος
διορθωτής: Ἰήτης

www.**MyLatinLover**.it

# ὀνόματα κεχιασμένα

| | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|
| I | II | III | IV | ■ | V | VI | VII | VIII | IX |
| X | | | | XI | ■ | XII | | | |
| XIII | | | | | XIV | ■ | XV | | |
| | ■ | XVI | | | | XVII | ■ | XVIII | |
| XIX | XX | ■ | XXI | | | | XXII | ■ | |
| XXIII | | XXIV | ■ | XXV | | | | XXVI | |
| XXVII | | | XXVIII | ■ | XXIX | | | | |
| XXX | | | | | ■ | XXXI | | | |

Lydia Ariminensis

## ὅροι ὁμαλοί ( → )

**I.** παρθένος; **V.** μένει (παρατατικὸς χρόνος); **X.** Παλλάς; **XII.** ἀντωνυμία ἀναφορική (οἷος, αἰτιατικὴ πτῶσις); **XIII.** ἵεμαι (ὑποτακτικὴ ἔγκλισις); **XV.** πρόθεσις μετὰ δοτικῆς πτώσεως; **XVI.** φόβει, κατάπλησσε (προστακτικὴ ἔγκλισις); **XVIII.** ἀντωνυμία προσώπου (σύ); **XIX.** ἀντωνυμία ἀναφορική (ὅς); **XXI.** μύω (χρόνος ὁ ἀόριστος); **XXIII.** πάντα ___ (Ἡρακλ.); **XXV.** ἐγχέων (μετοχὴ τοῦ χρόνου ἀορίστου); **XXVII.** ἀπόφασις; **XXIX.** ἱερεύς (αἰτιατικὴ πτῶσις); **XXX.** σῴζεις (συνώνυμον); **XXXI.** πόλις τῆς Αἰγύπτου.

## ὅροι κάθετοι ( ↓ )

**I.** Καῖσαρ (ἡ γενικὴ πτῶσις); **II.** ὀθέω (συναιρούμενον); **III.** λέξις, λόγος; **IV.** ἄνετε (παρατατικὸς χρόνος); **VI.** μόνος (προτέρα συλλαβή); **VII.** πρόθεσις μετὰ αἰτιατικῆς πτώσεως; **VIII.** πλοῖον; IX. ἐννεύων (μετοχὴ τοῦ χρόνου ἀορίστου); **XI.** δύσθυμε, πιεζόμενε (ἡ κλητικὴ πτῶσις); **XIV.** ἄνευ ζύγου (δοτικὴ πτῶσις); **XVII.** ἔχεις (χρόνος ἀόριστος); **XX.** ἐκβάλλω, ἀπελαύνω; **XXII.** πνεῦμα, αἰθήρ (αἰτιατικὴ πτῶσις); **XXIV.** ὅρα (ἀόριστος, προστακτικὴ ἔγκλισις); **XXVI.** κτῆμα ἐς ___ (Θουκυδ.); **XXVIII.** συνάφεια ὑποθετική.

**εὑρὲ τὸν λόγον**

εὑρὲ τὸν κεκαλυμμένον λόγον ἐκ τοῦ **Π** εἰς τὸ **η**, συνδέων γράμματα, ὡς τὸ παράδειγμα δηλοῖ

| | | | |
|---|---|---|---|
| **Π** | σ | γ | ἀ |
| ί | τ | ς | ά |
| ς | ι | ί | π |
| ἐ | λ | π | **η** |

**Παράδειγμα**




( Κύριε ἐλέησον )

## τὰ φωνήεντα γράμματα οὐχ ἱκανά

γράφε γράμματα ἀντὶ ἑκάστου ἀριθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ὀδυσσείας τυγχάνῃς

ὢ 1 - ἔ 2 α 3' - Ἐ 4 5 εία 1, - ἀ 6 6' - οὐ - 2 4 έ 7 α 1 - Αἰ 8 ί 9 3 οιο -
11 εῖ 3' - ἀ 8 α 3 ὰ - 2 4 ο 7 έω 7· - 7 ῦ 7 - 12' - ἀ 3 4 όα - 11 ά 7 13' -
- ἀ 11 έ 13 ει 9 ε." -
13 ὸ 7 - 12' - ἠ 5 εί 14 ε 13' - ἔ 11 ει 13 α - 3 εὰ - 8 6 αυ 15 ῶ 11 ι 1 - Ἀ 3 ή 7 η· -
"ὤ - 11 ά 13 ε 4 - ἠ 5 έ 13 ε 4 ε - 15 4 ο 7 ί 12 η, - ὕ 11 α 13 ε - 15 4 ειό 7 13 ω 7, -
15 αὶ - 6 ίη 7 - 15 εῖ 7 ό 1 - 8 ε - ἐοι 15 ό 13 ι - 15 εῖ 13 αι - ὀ 6 έ 3 4 ῳ, -
ὠ 1 - ἀ 11 ό 6 οι 13 ο - 15 αὶ - ἄ 6 6 ο 1 - ὅ 13 ι 1 - 13 οιαῦ 13 ά - 8 ε - 4 έ 16 οι. -
ἀ 6 6 ά - 5 οι - ἀ 5 2' - Ὀ 12 υ 9 ῆϊ - 12 αΐ 2 4 ο 7 ι - 12 αίε 13 αι - ἧ 13 ο 4, -
12 υ 9 5 ό 4 ῳ, - ὃ1 - 12ὴ - 12 η 3 ὰ - 2 ί 6 ω 7 - ἄ 11 ο - 11 ή 5 α 13 α - 11 ά 9 17ει
7 ή 9 ῳ - ἐ 7 - ἀ 5 2 ι 4 ύ 13 ῃ, - ὅ 3 ι - 13' - ὀ 5 2 α 6 ό 1 - ἐ 9 13 ι - 3 α 6 ά 9 9 η 1,
7 ῆ 9 ο 1 - 12 ε 7 12 4 ήε 9 9 α, - 3 εὰ - 12' - ἐ 7 - 12 ώ 5 α 13 α – 7 αίει, -
Ἄ 13 6 α 7 13 ο 1 - 3 υ 8 ά 13 η 4 - ὀ 6 οό 2 4 ο 7 ο 1, - ὅ 1 - 13 ε - 3 α 6 ά 9 9 η 1 -
11 ά 9 η 1 - 14 έ 7 3 εα - οἳ 12 ε 7, - ἔ 17 ει - 12 έ - 13 ε - 15 ίο 7 α 1 - αὐ 13 ὸ 1 -
5 α 15 4 ά 1, - αἳ - 8 αῖά 7 - 13 ε - 15 αὶ - οὐ 4 α 7 ὸ 7 - ἀ 5 2 ὶ 1 - ἔ 17 ου 9 ι.

# ζήτησις τῶν ὀνομάτων

εὑρὲ τὰ ὀνόματα. τὰ λοιπὰ γράμματα ποιήσονται τὸ λοιπὸν ὄνομα.

| | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| π | μ | ο | ρ | α | ς | ν | ι | σ | α | ρ | δ | ν | α |
| α | κ | α | τ | α | φ | ρ | ο | ν | ω | ν | ω | ι | π |
| ι | κ | ν | λ | ε | τ | α | ξ | ε | ν | λ | γ | υ | α |
| δ | ς | υ | ο | λ | π | α | λ | λ | α | ρ | α | λ | τ |
| ο | ι | γ | ο | ν | ο | ι | α | γ | ο | ι | τ | ο | ε |
| ς | ο | ν | ε | μ | ο | ν | ε | γ | α | ρ | α | π | ρ |
| α | τ | υ | ε | ν | ο | μ | η | ν | μ | ο | ι | ξ | α |
| ω | ω | κ | σ | ω | ν | γ | ι | γ | υ | ο | τ | υ | α |
| ι | ε | ι | α | ρ | ι | ε | π | ν | ω | σ | π | ε | ρ |

Ξενοφῶντος – Συμπόσιον

᾿Αλλ᾿ ἐμοὶ δοκεῖ τῶν καλῶν ______ ἀνδρῶν ἔργα οὐ **μόνον** τὰ μετὰ σπουδῆς πραττόμενα **ἀξιομνημόνευτα εἶναι**, **ἀλλὰ** καὶ τὰ ἐν ταῖς παιδιαῖς. Οἷς δὲ **παραγενόμενος** ταῦτα **γιγνώσκω** δηλῶσαι βούλομαι. ἦν μὲν γὰρ Παναθηναίων τῶν **μεγάλων** ἱπποδρομία, Καλλίας δὲ ὁ ῾Ιππονίκου ἐρῶν ἐτύγχανεν Αὐτολύκου **παιδὸς** ὄντος, καὶ νενικηκότα αὐτὸν παγκράτιον ἧκεν ἄγων ἐπὶ τὴν θέαν. ῾Ως δὲ ἡ ἱπποδρομία ἔληξεν, ἔχων τόν τε Αὐτόλυκον καὶ τὸν **πατέρα αὐτοῦ** ἀπῄει εἰς τὴν ἐν **Πειραιεῖ** οἰκίαν· **συνείπετο** δὲ αὐτῷ καὶ Νικήρατος. ᾿Ιδὼν δὲ **ὁμοῦ** ὄντας Σωκράτην τε καὶ Κριτόβουλον καὶ ῾Ερμογένην καὶ ᾿Αντισθένην καὶ Χαρμίδην, τοῖς μὲν ἀμφ᾿ Αὐτόλυκον ἡγεῖσθαί τινα **ἔταξεν**, αὐτὸς δὲ προσῆλθε **τοῖς** ἀμφὶ Σωκράτην, καὶ εἶπεν· "Εἰς καλόν γε ὑμῖν συντετύχηκα· ἑστιᾶν γὰρ μέλλω Αὐτόλυκον καὶ τὸν πατέρα αὐτοῦ. Οἶμαι οὖν πολὺ ἂν τὴν κατασκευήν μοι λαμπροτέραν φανῆναι εἰ **ἀνδράσιν** ἐκκεκαθαρμένοις τὰς ψυχὰς **ὥσπερ** ὑμῖν ὁ ἀνδρὼν κεκοσμημένος εἴη **μᾶλλον** ἢ εἰ στρατηγοῖς καὶ ἱππάρχοις καὶ σπουδαρχίαις." Καὶ ὁ Σωκράτης εἶπεν· "᾿Αεὶ σὺ ἐπισκώπτεις ἡμᾶς **καταφρονῶν**, ὅτι σὺ μὲν Πρωταγόρᾳ τε **πολὺ** ἀργύριον δέδωκας ἐπὶ σοφίᾳ καὶ **Γοργίᾳ** καὶ Προδίκῳ καὶ ἄλλοις πολλοῖς, ἡμᾶς δ᾿ **ὁρᾷς** αὐτουργούς τινας τῆς φιλοσοφίας ὄντας ...

## εἰκὼν κεκρυμμένη

σύνδει σημεῖα ἐκ τοῦ α εἰς τὸ π ἵνα εἰκόνα ποιῇς




## ὀνόματα κεχιασμένα

| | | | | |
|---|---|---|---|---|
| I | II | III | IV | V |
| VI | | | | |
| VII | | | | |
| VIII | | | | |
| IX | | | | |

**ὅροι ὁμαλοί ( → )**

I. Ποίημα Ἡσιόδου;
VI. διάκρινε, διαίρει;
VII. τῆλε, τηλόθι ;
VIII. ___ , ὑμεῖς, σφεῖς;
IX. ῥαΐζω (fut., act.).

**ὅροι κάθετοι ( ↓ )**

I. ἄστρον;
II. εἶδος, μορφή;
III. πιλῶ, πιλεῖς, ___;
IV. ἵζω (optat., II p., act.);
V. σεύω (fut. act.).

# ΑΣΤΕΡΙΚΙΟΣ ΚΑΙ ΚΛΕΟΠΑΤΡΑ




(Permission requested to publisher Mamouth Comix and forwarded to the French publisher)

# Ὁ Δόναλδ Τρᾶμπ ἐν ταῖς ἀρχαιρεσίαις νικᾷ

11 Νοεμβρίου 2016




Ὁ Δόναλδ Τρᾶμπ, ἐν ταῖς ἀρχαιρεσίαις νεωστὶ πεποιημέναις ἀπροσδοκήτως νικήσας, ὁ ἐπιγιγνόμενος τῶν ΗΑΠ πρόεδρος γενήσεται. δέον τοὺς Ἀμερικανοὺς πολίτας νέον πρόεδρον αἱρεῖσθαι, ἥ τε Ἴλλαρι Κλίντον (γυνὴ τοῦ προτέρου προέδρου Βῖλ Κλίντον, 1993-2001) καὶ ὁ Δόναλδ Τρᾶμπ ἐφίεντο τῷ Βᾶρακ Ὀβάμα διαδέχεσθαι, τοῦτο δὲ κτᾶσθαι πειρώμενοι τοὺς τελευταίους μῆνας διέτριψαν τοὺς πολίτας ἀναπείθοντες καὶ ἕτερος ἑτέρου κατηγοροῦντες πάντα τὰ ἐν τῷ κόσμῳ κακά.

ὡς μὲν ἐπὶ τὸ πολύ, ὁπόταν δύο εἰς ἀρχὴν παραγγέλλωσιν ἀεὶ ἔνθα καὶ ἔνθα διαφέρουσιν (περὶ τῆς οἰκονομίας, περὶ τῆς πρὸς τὰς ἄλλας χώρας κοινωνίας, κτλ.), νῦν δὲ αἱ δύο αἰτίαι δι' ἃς αὗται αἱ ἀρχαιρεσίαι ἴδιαι ἐγένοντο αἵδε εἰσίν, ἡ μὲν πρώτη ὅτι οἱ δύο παραγγέλλοντες οὕτως διαφέρονται ὡς οὐδέποτε τὸ πρότερον δύο ἄλλοι παραγγέλλοντες διηνέγκοντο, ἡ δὲ δευτέρα ὅτι οἱ πλεῖστοι ἐνόμιζον τὴν Ι. Κλίντον νικήσειν.

ὅ τι ποιήσει νῦν ὁ Δ. Τρᾶμπ εἰς τὴν ἀρχὴν ἀφικόμενος (τῷ ὄντι κατὰ τοὺς νόμους πρόεδρος γενήσεται τῷ Ἰανουαρίῳ μηνί) ἄγνωστόν ἐστιν, πολλάκις γὰρ πρῶτον μὲν τοῦτο καὶ ἐκεῖνο ὑπισχνοῦνται ποιήσειν ἵνα τὴν νίκην κτῶνται, ἔπειτα δὲ ἐκεῖνο ὃ ὑπέσχοντο εἴτε οὐ βούλονται εἴτε οὐ δύνανται ποιεῖν, τὰ οὖν γενησόμενα μένειν δεῖ.

Reproduced with authorisation of Juan Coderch

## Ταχέως ἐργάζονται ἐν τῇ Ἰαπωνίᾳ

18 Νοεμβρίου 2016



Ἆρα τί οὐκ ἔξεστι τοῖς Ἰάπωσι ποιεῖν; νεωστὶ ἐν τῇ πόλει Φουκουκόα δυστύχημα μέγα ἐγένετο (τύχῃ οὐδεὶς ἄνθρωπος ἐτρώθη), ἀγυιά γάρ τις τοσαύτη ὥστε πέντε αὐτοκίνητα παράλληλα προχωρεῖν δύναται κατέδυ, ὃ ἔξεστιν ἡμῖν ἐν τῇ ἀριστερᾷ φωτογραφίᾳ ἰδεῖν. κατὰ τοὺς ἐμπείρους τὸ ὑπόγειον ὕδωρ αἴτιον ἦν τούτου τοῦ ὀρύγματος, τριάκοντα μὲν μέτρα τὸ εὖρος, πεντεκαίδεκα δὲ τὸ βάθος ὄντος. τούτου δὲ γενομένου, οὐ μόνον οὐκ ἐξῆν διὰ ταύτης τῆς ἀγυιᾶς διαπορεύεσθαι ἀλλὰ καὶ οἱ ἐν ἐκείνῳ τῷ τῆς πόλεως δήμῳ οὔτε ἠλεκτρικὴν δύναμιν οὔτε ἀέριον οὔτε ὕδωρ ἐδέχοντο ἐν ταῖς οἰκίαις. τούτων οὕτως ἐχόντων, οἱ ἐργασταὶ τοὺς σωλῆνας τοὺς τῆς ἠλεκτρικῆς δυνάμεως καὶ τοῦ ὕδατος καὶ τοῦ ἀέριου ἀνασκευάσαντες (τοῦτο γὰρ τὸ ἀναγκαιότατον ἦν) τὸ ὄρυγμα ἀνέπλησαν καὶ τὴν ἀγυιὰν αὐτὴν αὖθις ἔστρωσαν, τοῦ δὲ ἔργου τελευτήσαντος εἶπεν ὁ δήμαρχος, συγγνώμην αἰτήσας τοὺς πολίτας τῶν ἐνοχλήματων ἕνεκα, ὅτι τοῦτο τὸ τῆς ἀγυιᾶς μέρος νῦν δεκάκις ἰσχυρότερον εἴη ἢ τὸ πρότερον. νῦν ἴσως λέγοι ἄν τις “ἀλλὰ διὰ τί τοῦτο θαυμάσιον ἐστίν; τὸ γὰρ αὐτὸ πανταχοῦ γίγνεται ἐπειδὰν ὄρυγμά τι φαίνηται.“ ὃ δὴ θαυμάσιον ἐγένετο οὔκ ἐστιν ὃ πεποιήκασιν ἀλλὰ ὅπως ταχέως πεποιήκασιν, τὴν γὰρ περὶ ἑαυτῶν εὔκλειαν ἀληθῆ οὖσαν δεικνύντες μιᾶς ἑβδομάδος τοῦτο ἔπραξαν, τὸ δὲ ἀπόβημα οὕτως ἄριστόν ἐστιν ὥστε οὐκ ἔξεστιν ἴχνος τι τοῦ δυστυχήματος ἰδεῖν.

ἡ πόλις Φουκουκόα πέμπτη ἐστὶ τῆς Ἰαπωνίας κατὰ τὸ μέγεθος.

Reproduced with authorisation of Juan Coderch

# λύσις

## ὀνόματα κεχιασμένα

| | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|
| Κ | Ο | Ρ | Η | | Ε | Μ | Ε | Ν | Ε |
| Α | Θ | Η | Ν | Α | | Ο | Ι | Α | Ν |
| Ι | Ω | Μ | Ε | Θ | Α | | Σ | Υ | Ν |
| Σ | | Α | Τ | Υ | Ζ | Ε | | Σ | Ε |
| Α | Σ | | Ε | Μ | Υ | Σ | Α | | Υ |
| Ρ | Ε | Ι | | Ε | Γ | Χ | Ε | Α | Σ |
| Ο | Υ | Δ | Ε | | Ι | Ε | Ρ | Ε | Α |
| Σ | Ω | Ε | Ι | Σ | | Σ | Α | Ι | Σ |

**τὰ φωνήεντα γράμματα οὐχ ἱκανά**
γράφε γράμματα ἀντὶ ἑκάστου ἀριθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ὀδυσσείας τυγχάνῃς

ὣς ἔφαθ' Ἑρμείας, ἀλλ' οὐ φρένας Αἰγίσθοιο
πεῖθ' ἀγαθὰ φρονέων· νῦν δ' ἁθρόα πάντ' ἀπέτεισε."
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
"ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ,
ὡς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ,
δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει
νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης,
νῆσος δενδρήεσσα, θεὰ δ' ἐν δώματα ναίει,
Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅς τε θαλάσσης
πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι.

**εὑρὲ τὸν λόγον**

Πίστις, ἐλπίς, ἀγάπη

## ὀνόματα κεχιασμένα

| | | | | |
|---|---|---|---|---|
| Α | Σ | Π | Ι | Σ |
| Σ | Χ | Ι | Ζ | Ε |
| Τ | Η | Λ | Ο | Υ |
| Η | Μ | Ε | Ι | Σ |
| Ρ | Α | Ι | Σ | Ω |

# λύσις

## ζήτησις τῶν ὀνομάτων

| | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| π | μ | ο | ρ | α | ς | ν | ι | σ | α | ρ | δ | ν | α |
| α | κ | α | τ | α | φ | ρ | ο | ν | ω | ν | ω | ι | π |
| ι | κ | ν | λ | ε | τ | α | ξ | ε | ν | λ | γ | υ | α |
| δ | ς | υ | ο | λ | π | α | λ | λ | α | ρ | α | λ | τ |
| ο | ι | γ | ο | ν | ο | ι | α | γ | ο | ι | τ | ο | ε |
| ς | ο | ν | ε | μ | ο | ν | ε | γ | α | ρ | α | π | ρ |
| α | τ | υ | ε | ν | ο | μ | η | ν | μ | ο | ι | ξ | α |
| ω | ω | κ | σ | ω | ν | γ | ι | γ | υ | ο | τ | υ | α |
| ι | ε | ι | α | ρ | ι | ε | π | ν | ω | σ | π | ε | ρ |

κ α γ α τ ω ν = κἀγαθῶν

### εἰκὼν κεκρυμμένη

